# AESOPI FABVLAE (I)

## **15a** -ΑΛΩΠΗΞ ΚΑΙ ΒΟΤΡΥΣ

ἀλώπηξ λιμώττουσα ὡς[1] ἐθεάσατο ἀπό τινος ἀναδενδράδος βότρυας κρεμαμένους, ἠβουλήθη αὐτῶν περιγενέσθαι[2] καὶ οὐκ ἠδύνατο. ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν[3] εἶπεν· «ὄμφακές εἰσιν».

οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τῶν πραγμάτων ἐφικέσθαι[4] μὴ δυνάμενοι, δι' ἀσθένειαν τοὺς καιροὺς αἰτιῶνται[5].

---

[1] **ὡς. Temporal**
[2] **περιγενέσθαι. ¡Ojo! Lleva régimen en genitivo. Consultar el diccionario**
[3] **ἑαυτὴν. Se refiere a la propia zorra, dado que la forma es reflexiva**
[4] **ἐφικέσθαι. ¡Ojo! Lleva régimen en genitivo.**
[5] **αἰτιῶνται.** Tradúzcase por *culpar a*